δηλαδὴ πρὸς τὴν αἴσθησιν, ἐπειδὴ διωρίσθη περὶ αἰσθήσεως, ῥητέον ἐστὶ περὶ τῆς φαντασίας, ὡς ἂν οὕτως ὕστερον διορισθείη καὶ περὶ τοῦ νοῦ καὶ τῆς δόξης.

Μετὰ ταῦτα λέγων· Εἰ δὴ ἔστιν, ἐπεξεργάζεται τὸν σκοπόν, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι οὐκ ἔστι τις τῶν δυνάμεων ἢ τῶν ἕξεων τῶν φανερῶν ἡ διαιροῦσα ἢ διακρίνουσα τὸ ἀληθές, ἢ τὸ ψεῦδος· δεύτερον, δείκνυσι τί ἐστιν, ἐν τῷ· Ἀλλ' ἐπειδὴ κινηθέντος τοῦδε. Περὶ τὸ πρῶτον τρία ποιεῖ· πρῶτον, διακρίνει τὰς δυνάμεις καὶ τὰς ἕξεις, αἷς τι διακρίνεται· δεύτερον, δείκνυσιν ὅτι ἡ φαντασία οὐκ ἔστι τι ἐξ ἐκείνων, ἐν τῷ· Ὅτι μὲν οὖν οὐκ ἔστιν αἴσθησις· τρίτον, ὅτι οὐδὲ σύνθετόν τι ἐστὶν ἐξ ἐκείνων, ἐν τῷ· Φανερὸν οὖν ὅτι οὐδέ. Λέγει τοίνυν, πρῶτον, ὅτι ἐπειδὴ ἡ φαντασία ἐστὶ καθ' ἣν λέγομεν γίνεσθαί τι ἡμῖν φάντασμα, εἰ μὴ ἴσως λάβοιμεν τὴν φαντασίαν μεταφορικῶς, ἀνάγκη τὴν φαντασίαν εἶναι ἢ ἐκ τοῦ ἀριθμοῦ τῶν ἕξεων, ἢ τῶν δυνάμεων τῶν γνωστικῶν, αἷς διακρίνεται ἓν ἀπ' ἄλλου, ἢ ἐκείνων τῶν δυνάμεων αἷς λέγομέν τι εἶναι ἀληθές, ἢ ψεῦδος, τουτέστι πλανώμεθα ἢ οὐ πλανώμεθα. Τὸ γὰρ φαίνεσθαί τι ἐστὶ τὸ διακρίνειν καὶ τὸ λέγειν ἀληθές, ἢ ψεῦδος. Αἱ δυνάμεις δὲ ἢ αἱ ἕξεις, αἷς διακρίνομεν καὶ λέγομεν τὸ ἀληθές, ἢ τὸ ψεῦδος, δοκοῦσιν εἶναι αὗται αἱ τέσσαρες· αἴσθησις, καὶ νοῦς, ἐπιστήμη καὶ δόξα. Ὅθεν ἡ φαντασία δοκεῖ τούτων εἶναί τι τῶν τεσσάρων. Τίθησι δὲ ταῦτα τὰ τέσσαρα, ἅτε ἤδη ἐγνωσμένα· τὰ γὰρ ἄλλα, τὰ πρὸς τὴν γνῶσιν ἀνήκειν δοκοῦντα, οὔπω ἐτύγχανον ἐν τῷ τούτου καιρῷ κατ' ἀκρίβειαν ἐγνωσμένα. Αὐτὸς γὰρ ἤδη διέκρινεν ἀνωτέρω τὸν νοῦν τῆς αἰσθήσεως. Ὅθεν παρὰ τὴν αἴσθησιν συναριθμεῖ τρία ἄλλα, δηλονότι τὸν νοῦν, τὴν ἐπιστήμην καὶ τὴν δόξαν. Καὶ δοκεῖ ὅτι ὁ νοῦς ἐνταῦθα οὐ λαμβάνεται ὡς δύναμις· οὕτω γὰρ οὐκ ἀντιδιαιρεῖται τῷ νῷ ἡ ἐπιστήμη καὶ ἡ δόξα, ἃ πρὸς τὴν νοερὰν ἀνήκουσι δύναμιν, ἀλλὰ λαμβάνεται ὁ νοῦς ἀντὶ τῆς ὁμολογουμένης καὶ σαφοῦς ἀντιλήψεως τῶν ἄνευ ζητήσεως ἡμῖν γνωριζομένων, ὥσπερ εἰσὶν αἱ πρῶται ἀρχαί. Ἡ δὲ ἐπιστήμη ἀντὶ τῆς γνώσεως ἐκείνων, περὶ ὧν πληροφορούμεθα διὰ τῆς τοῦ λόγου θήρας τε καὶ ἐρεύνης· ἡ δὲ δόξα ὡς γνῶσις τῶν πραγμάτων ἐκείνων, περὶ ὧν σαφῆ καὶ ὡρισμένην κρίσιν | οὐκ ἔχομεν. Ὅθεν καὶ λέγει τὴν f. 329
φαντασίαν εἶναι ἐκ τοῦ ἀριθμοῦ ἐκείνων ἕξιν ἢ δύναμιν, ὥστε δεῖξαι ὅτι ἐν τούτοις τί μέν ἐστιν ὡς δύναμις, τί δὲ ὡς ἕξις. Γινώσκειν δὲ δυνάμεθα ταύτας μόνας τὰς τέσσαρας ἀρχὰς τῆς καταλήψεως τοῖς ἀρχαίοις φιλοσόφοις ἐγνῶσθαι ἐκ τῆς ἐν τῷ πρώτῳ βιβλίῳ προεκτεθειμένης δόξης τοῦ Πλάτωνος, ὃς ταῦτα μόνον τὰ τέσσαρα πρὸς τοὺς ἀριθμοὺς ἀνήγαγεν, τὸν

---

1 *δηλαδή*: *τουτέστι* B  2 *ῥηθείη* B  7 *ἔστι* après *ἐπειδὴ* add B  14 *ἐκ τῶν δυνάμεων* B

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μὲν νοῦν ἀποδοὺς τῷ ἑνί, τὴν δὲ ἐπιστήμην τῇ δυάδι, τὴν δόξαν τῷ τρία καὶ τὴν αἴσθησιν τῷ τέσσαρα.

Ἐφεξῆς λέγων· Ὅτι μὲν οὖν οὐκ ἔστιν, δείκνυσιν ὅτι ἡ φαντασία οὐκ ἔστι τι τούτων, καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι οὐκ ἔστιν αἴσθησις· δεύτερον, ὅτι οὐκ ἔστι νοῦς ἢ ἐπιστήμη, ἐν τῷ· Ἀλλὰ μὴν οὐδέ· τρίτον, ὅτι οὐκ ἔστι δόξα, ἐν τῷ· Λείπεται τοίνυν. Περὶ τὸ πρῶτον αὖθις τρία ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι ἡ φαντασία οὐκ ἔστιν αἴσθησις οὔτε κατὰ δύναμιν, οὔτε κατ' ἐνέργειαν, καὶ ἔστιν ὁ λόγος τοιοῦτος. Κοιμώμενός τις φαντάζεται· τοῦτο δὲ οὐ γίνεται κατὰ τὴν αἴσθησιν ἐν τῇ δυνάμει, διότι τῇ αἰσθήσει ὑπάρχει τὸ ἐν δυνάμει οὐδὲν φαίνεσθαι· ἀλλ' οὐδὲ κατὰ τὴν αἴσθησιν ἐν τῇ ἐνεργείᾳ, διότι κατὰ τὸν ὕπνον οὐκ ἔστιν ἡ αἴσθησις ἐν τῇ ἐνεργείᾳ. Ἡ φαντασία ἄρα οὔτε ἐνεργείᾳ ἐστὶν αἴσθησις, οὔτε δυνάμει. Δεύτερον, ἐν τῷ· Εἶτα αἴσθησις, δείκνυσιν ὅτι ἡ φαντασία οὐκ ἔστιν αἴσθησις ἐν δυνάμει, καὶ ἔστιν ὁ λόγος τοιοῦτος. Ἡ αἴσθησις ἐν δυνάμει πάρεστιν ἀεὶ τῷ ζῴῳ. Ἡ δὲ φαντασία οὐκ ἀεί, διότι οὐκ ἀεὶ τῷ ζῴῳ τι φαίνεται. Ἡ φαντασία ἄρα οὐκ ἔστιν αἴσθησις ἐν δυνάμει. Τρίτον, ἐν τῷ· Εἰ δὲ τῇ ἐνεργείᾳ, δείκνυσιν ὅτι ἡ φαντασία οὐκ ἔστιν αἴσθησις κατ' ἐνέργειαν τέτρασι λόγοις, ὧν ὁ πρῶτος τοιοῦτός ἐστι. Τὸ αἰσθάνεσθαι κατ' ἐνέργειαν ἐνδέχεται πᾶσι τοῖς θηρίοις, τουτέστι τοῖς ἀλόγοις ζῴοις. Εἰ τοίνυν ἡ φαντασία εἴη ταὐτὸν τῇ κατ' ἐνέργειαν αἰσθήσει, ἀκόλουθον ἂν εἴη καὶ αὐτὴν ἐνυπάρχειν πᾶσι τοῖς ἀλόγοις ζῴοις. Τοῦτο δὲ οὐκ ἔστιν ἀληθές· οὐ γὰρ ἐνυπάρχει τῷ μύρμηκι, ἢ τῇ μελίττῃ, ἢ τῷ σκώληκι. Ἡ φαντασία ἄρα οὐκ ἔστιν αἴσθησις κατ' ἐνέργειαν. Θεωρητέον δέ ἐστιν ὅτι πάντα τὰ ζῷα ἔχουσι τρόπῳ τινὶ τὴν φαντασίαν, ἀλλὰ τὰ ἀτελῆ ζῷα ἔχουσι τὴν φαντασίαν τρόπον τινὰ ἀτελῆ καὶ ἀδιόριστον, ὡς μετὰ ταῦτα ἐρεῖ ὁ Φιλόσοφος. Ἀλλὰ τοῦτο δοκεῖ μὴ εἶναι ἀληθὲς περί τε μύρμηκος καὶ μελίττης. Ἔν τισι γὰρ ἔργοις πλείστης φρονήσεως φαίνονται εἶναι. Καὶ ἰστέον ἐστὶν ὅτι τὰ τῆς φρονήσεως ἔργα ἡ μέλιττα καὶ ὁ μύρμηξ ἐργάζονται φυσικῇ τινι ῥοπῇ, οὐκ ἐκ τοῦ φαντασίαν ἔχειν διωρισμένην καὶ διακεκριμένην· οὐ γὰρ φαντάζονταί τι εἰ μὴ ὁπόταν κινῶνται ὑπὸ τοῦ αἰσθητοῦ· τὸ δὲ ἐνεργεῖν αὐτὰ διά τι τέλος, ὥσπερ προνοούμενα τοῦ μέλλοντος, οὐ συμβαίνει αὐτοῖς ἐκ τοῦ ἔχειν εἰκασίαν τινὰ ἐκείνου τοῦ μέλλοντος, ἀλλὰ φαντάζονται καὶ εἰκάζουσι τὰς παρούσας ἐνεργείας, αἵτινες τάττονται πρὸς τὸ τέλος φυσικῇ τινι μᾶλλον ῥοπῇ ἢ ἔκ τινος καταλήψεως. Ἐκεῖνα δέ φησιν ὁ Φιλόσοφος τῶν ζῴων φαντασίαν ἔχειν, ὁπόσοις τι κατὰ τὴν φαντασίαν φαίνεται, καὶ ὅταν μὴ ἐν τῇ ἐνεργείᾳ αἰσθάνηται.

---

10 *ὑπάρχει τὸ* om B   *φαίνεται* B   21 *ἅπασι* B   28 *ἐστὶν* om B   *καὶ* avant *ὁ μύρμηξ*: *ἢ* B

Ε.Υ.Σ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Τὸν δεύτερον τίθησι λόγον ἐν τῷ· Εἶτα αἱ μέν, τοιοῦτον ὄντα. Ἡ αἴσθησις ἡ κατ' ἐνέργειαν ἀεὶ ἐστὶν ἀληθής· οὐ γὰρ ἀπατᾶται ἡ αἴσθησις περὶ τὸ ἴδιον αἰσθητόν. Ἀλλ' αἱ φαντασίαι, ὡς ἐπὶ τὸ πλεῖστον, εἰσὶ ψευδεῖς· οὐ γὰρ ἀνταποκρίνονται ἢ συμφωνοῦσι τὰ πράγματα τῇ ἡμετέρᾳ εἰκασίᾳ καὶ τῷ φαντασμῷ, ὡς ἐπὶ τὸ πολύ. Ἡ ἄρα φαντασία οὐκ ἔστιν αἴσθησις κατ' ἐνέργειαν.

Τὸν τρίτον τίθησι λόγον ἐν τῷ· Ἔτι δὲ οὐ λέγομεν, ὃς δὴ τοιοῦτός τίς ἐστιν. Ὅταν ἐνεργῶμεν κατὰ ἀκρίβειαν περὶ τὸ αἰσθητὸν ἐνεργείᾳ ἤγουν αἰσθανόμενοι, οὐ λέγομεν ὅτι τοῦτο φαίνεται ἡμῖν ἄνθρωπος, ἀλλὰ μᾶλλον τοῦτο λέγομεν εἶναι ἄνθρωπον. Ὅταν δὲ μὴ φανερῶς αἰσθάνεσθαι δυνάμεθα, ἢ πόρρωθεν, δηλονότι ὁρῶντες, ἢ βλέποντές τι ἐν σκότει, τότε ἡ αἴσθησις ἡ κατ' ἐνέργειαν ἢ ἀληθής ἐστιν, ἢ ψευδής· περὶ γὰρ τὸ κατὰ συμβεβηκὸς αἰσθητόν, ὁποῖον δέ ἐστι καὶ ὁ ἄνθρωπος, οὐκ ἀεὶ ἡ αἴσθησις ἀληθής, ἀλλ' ἀπατᾶται ἔστιν ὅτε. Προστίθησι δὲ τοῦτο, ἵνα δείξῃ τὴν κοινωνίαν τῆς οὐκ ἀκριβοῦς αἰσθήσεως πρὸς τὴν φαντασίαν, ἥτις καὶ αὐτὴ ποτὲ μέν ἐστιν ἀληθής, ποτὲ δὲ ψευδής. Ὁπόταν δέ τι φανερῶς φανταζώμεθα, λέγομεν ὅτι τοῦτο φαίνεται, ἢ δοκεῖ ἡμῖν ἄνθρωπος, καὶ οὐχ ὅτι ἄντικρυς ἐστὶν ἄνθρωπος. Ἡ φαντασία ἄρα οὐκ ἔστιν αἴσθησις κατ' ἐνέργειαν.

Τὸν τέταρτον λόγον τίθησιν ἐν τῷ· Καὶ ὅπερ δὲ ἐλέγομεν, τοιοῦτον ὄντα. Αἱ φανταστικαὶ ὄψεις φαίνονται καὶ τοῖς ὑπνώττουσιν· ἐν αὐτοῖς δὲ οὐκ ἔστιν αἴσθησις κατ' ἐνέργειαν. Ἡ φανταστικὴ ἄρα ὄψις οὐκ ἔστιν αἴσθησις κατ' ἐνέργειαν.

Ἐφεξῆς λέγων ὅτι· Ἀλλὰ μήν, δείκνυσιν ὅτι ἡ φαντασία οὔτε νοῦς f. 329 v ἐστιν, οὔτε ἐπιστήμη. Ὁ γὰρ νοῦς, τῶν πρώτων ὑπάρχων ἀρχῶν, καὶ ἡ ἐπιστήμη, τῶν συμπερασμάτων δι' ἀποδείξεως προσγινομένη, τῶν ἀληθῶν εἰσίν· ἡ δὲ φαντασία ἔστιν ὅτε ψευδὴς τυγχάνει. Ἡ ἄρα φαντασία οὔτε νοῦς ἐστιν, οὔτε ἐπιστήμη.

Μετὰ ταῦτα λέγων· Λείπεται ἄρα, δείκνυσιν ὅτι ἡ φαντασία οὐκ ἔστι δόξα, ὃ μᾶλλον ἐδόκει διὰ τὸ καὶ τὴν δόξαν ἐνίοτε ψευδῆ εἶναι, ὥσπερ ἡ φαντασία, δείκνυσι δὲ τοῦτο δυσὶ λόγοις, ὧν ὁ πρῶτος τοιοῦτός ἐστι. Τῇ δόξῃ ἀκολουθεῖ πίστις· οὐδὲ γὰρ φαίνεται ἐνδεχόμενον εἶναι μὴ πιστεύειν τινὰ οἷς δοξάζει, καὶ οὕτω διὰ τὸ μηδενὶ τῶν θηρίων ὑπάρχειν τὴν πίστιν, οὐδὲ ἡ δόξα αὐτῶν οὐδενὶ ἐνυπάρχει. Ἀλλ' ἡ φαντασία ἐνυπάρχει πολλοῖς τῶν θηρίων, ὡς εἴρηται.

Ὁ δεύτερός ἐστιν ἐν τῷ· Ἔτι εἰ πάσῃ μέν, καὶ φησὶν ὅτι πάσῃ δόξῃ ἕπεται πίστις, ἀλλ' ἐπειδὴ [ἕκαστος πιστεύει ὅπερ δοξάζει, ὡς

---

8 *τίς* om B 11-13 *σκότει — καὶ ὁ* om B 17 *ἡμῖν* om B 21 *φαντασίαι* B 22 *φαντασία* B *ἄρα ἡ ὄψις* B 37 *μὲν* avant *δόξῃ* add B

ΙΩΑΝΝΙΝΑ 2006

εἴρηται, τῇ δὲ πίστει ἕπεται τὸ πεπεῖσθαι· ἐκεῖνα γὰρ πιστεύομεν, ἅπερ πεπεισμένοι ἐσμέν· τῇ δὲ πειθοῖ ἕπεται ὁ λόγος κατὰ τὴν τῆς ἐπιφορᾶς τάξιν, διότι λόγῳ τινί τις περὶ ὁτουοῦν εἴωθε πείθεσθαι· ἐκ τοῦ πρώτου ἄρα πρὸς τὸ τελευταῖον ἔχων δόξαν, ἔχει καὶ λόγον, οὐδὲν δὲ θηρίον ἔχει λόγον, καίτοι ἔνια φαντασίαν ἔχουσιν, ἡ φαντασία ἄρα οὐκ ἔστι δόξα. Καὶ δῆλον ἐστὶν ὅτι οὗτος ὁ δεύτερος λόγος εἰσάγεται πρὸς βεβαίωσιν τοῦ πρώτου ὅσον πρὸς τὴν τοῦ πρώτου ὑπόθεσιν. Ὑπετίθει γὰρ ἐκεῖνος μηδὲν τῶν θηρίων ἔχειν πίστιν.

Μετὰ ταῦτα λέγων· Φανερὸν τοίνυν ὅτι, δείκνυσιν ὅτι ἡ φαντασία οὐκ ἔστι τι σύνθετον ἐκ τῶν προειρημένων, καὶ μάλιστα ἐκ τῆς δόξης καὶ τῆς αἰσθήσεως, ἐξ ὧν μᾶλλον δύναιτ' ἂν δοκεῖν συντεθεῖσθαι, καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον, τίθησι τὸν αὐτοῦ σκοπόν, ὡσανεὶ συμπεραίνων ἐκ τῶν προειρημένων. Λέγει γοῦν ὅτι, ἐπειδὴ ἡ φαντασία οὔτε αἴσθησίς ἐστίν, οὔτε δόξα, φανερὸν διὰ τοῦτο εἶναι δύναται καὶ ὅτι ἡ φαντασία οὐκ ἔστι δόξα μετ' αἰσθήσεως, οὕτω δηλονότι ὥστε οὐσιωδῶς μὲν αὐτὴν εἶναι δόξαν, ἔχειν δὲ τὴν αἴσθησιν συνοδεύουσαν· οὔτε ἐστὶ δόξα δι' αἰσθήσεως; οὕτω δηλονότι ὥστε οὐσιωδέστερον μὲν εἶναι δόξα, ἔχειν δὲ τὴν αἴσθησιν αἰτίαν ἑαυτῆς· οὔτε ἐστὶ συμπλοκὴ δόξης καὶ αἰσθήσεως, οὕτως ὥστε οὐσιωδῶς ἐξ ἀμφοῖν συντεθεῖσθαι. Οὐ προστίθησι δὲ ὅτι οὐκ ἔστιν ἡ φαντασία αἴσθησις μετὰ δόξης, διότι ἡ φαντασία μᾶλλον δοκεῖ συνέρχεσθαι καὶ ὡμοιῶσθαι τῇ δόξῃ, ἥτις δύναται εἶναι καὶ ψευδὴς ἢ μετὰ τῆς αἰσθήσεως, τῆς ἀεὶ ἀληθοῦς οὔσης.

Δεύτερον, ἐν τῷ· Καὶ δῆλον ὅτι οὐκ ἄλλου, δείκνυσι πῶς γοῦν λαμβάνεσθαι τὴν δόξαν ἐν τῇ αἰσθήσει, εἰ ἡ φαντασία περιλαμβάνει τὴν δόξαν καὶ τὴν αἴσθησιν· διότι γὰρ ἡ φαντασία ἐστὶν ἑνὸς καὶ τοῦ αὐτοῦ, φανερόν ἐστιν ὅτι ἡ δόξα συναπτομένη τῇ αἰσθήσει, ἥτις ἐστὶν ἡ φαντασία, οὐκ ἔστιν ἄλλη ἀλλ' ἐκείνη, ἥτις ἐστὶ περὶ τοῦ αὐτοῦ, περὶ οὗ ἐστὶ καὶ ἡ αἴσθησις, ὥσπερ ἐὰν λέγωμεν ὅτι ἡ φαντασία ἐστὶ συμπλοκή τις ἐκ τῆς δόξης τοῦ λευκοῦ καὶ τῆς αἰσθήσεως τοῦ αὐτοῦ· οὐ γὰρ δύναται συγκεῖσθαι ἐκ τῆς δόξης τοῦ λευκοῦ καὶ τῆς αἰσθήσεως τοῦ ἀγαθοῦ· οὕτω γὰρ ἡ φαντασία οὐκ ἂν ἦν περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματος. Δεῖ τοίνυν, εἴπερ ἡ φαντασία ἐστὶν ἐκ συμπλοκῆς δόξης καὶ αἰσθήσεως, τὸ φαίνεσθαί τι κατὰ τὴν φαντασίαν μηδὲν ἕτερον εἶναι ἢ τὸ δοξάζειν ἐκεῖνο αὐτό, ὅπερ αἰσθάνεται καθαυτό, καὶ οὐ κατὰ συμβεβηκός.

Τρίτον, ἐν τῷ· Φαίνεται δέ γε, ἀναιρεῖ τὴν προειρημένην θέσιν τοιούτῳ λόγῳ. Ἐνδέχεταί ποτε φαίνεσθαί τινα ψευδῆ κατὰ τὴν φαντασίαν, ἅπερ ἐστὶν ἀπὸ τῆς αἰσθήσεως καὶ περὶ ὧν ὁ ἄνθρωπος ἔχει ἀληθῆ δόξαν, ὥσπερ κατὰ τὴν αἴσθησιν φαίνεται ὁ ἥλιος μὴ ὑπερβαίνων ποδιαῖον μέγεθος,

---

19 οὐκ ἔστιν om B  20 αἴσθησις om B

Ε.Υ.Δ της Κ.τ.Ι ΙΩΑΝΝΙΝΑ 2006

καὶ τοῦτο ἐστὶ ψεῦδος, ἀλλὰ κατὰ τὴν ἀληθῆ δόξαν, πιστεύεται εἶναι μείζων τῆς οἰκουμένης. Εἰ τοίνυν ἡ φαντασία αὕτη ἡ ψευδής ἐστι ταὐτὸν ὅπερ δόξα μετ' αἰσθήσεως, δεῖ πάντως θάτερον παρακολουθεῖν τῶν δύο τούτων· τὸ ἕν ἐστιν, ἵνα ἐν τῇ συνθέσει τῆς δόξης πρὸς τὴν αἴσθησιν ἀποβάλλῃ τις τὴν ἀληθῆ δόξαν, ἣν πρότερον ἐδόξαζε, σῳζομένου τοῦ πράγματος, τουτέστι τῷ αὐτῷ τρόπῳ διακειμένου καὶ μένοντος, καὶ αὐτὸς ὁ τὴν δόξαν ἀποβαλὼν μὴ ἐπιλελησμένος, μηδὲ πιστεύων ὅτι ἔστιν ἀδύνατον. Τούτοις γὰρ τοῖς τρισὶ τρόποις ἀποβάλλει τις τὴν ἀληθῆ δόξαν· πρῶτον, ὅταν τὸ πρᾶγμα μεταβάλλῃ, ὥσπερ ὅταν τις ἀληθῶς δοξάζῃ τὸν Σωκράτην καθῆσθαι, ἐκείνου καθημένου, ἐπὰν δὲ παύσηται ὁ Σωκράτης καθήμενος, εἰ κατέχοι τὴν αὐτὴν δόξαν, ἡ ἀληθὴς δόξα μετέβαλεν εἰς ψευδῆ· δεύτερον, ὅταν παύηται αὐτὸς δοξάζειν ὅπερ πρότερον ἐδόξαζεν διὰ τὸ ἐπιλαθέσθαι αὐτὸν | τῶν προτέρων λόγων, τῶν πρὸς τὴν δόξαν, ἢ καὶ αὐτῆς τῆς δόξης· f. 330 τρίτον, ὅταν παύηται δοξάζειν ὅπερ ἐδόξαζε πρότερον διὰ τὸ διαπιστεῖν οἷς ἐπίστευε πρότερον, μεταβληθεὶς διά τινος λόγου. Τὸ δὲ ἀποβαλεῖν τινὰ τὴν ἀληθῆ δόξαν, μηδενὸς τῶν τριῶν τούτων συμβαίνοντος, ἔστιν ἀδύνατον· ὅπερ συμβαίνοι ἂν ἐπὶ τοῦ προκειμένου. Τὸ δὲ ἕτερον, ὅπερ ἀνάγκη λέγειν, εἰ τὸ πρῶτον μὴ λέγοιτο, ἔστιν ὅτι ἕξει τις μετὰ τῆς ψευδοῦς δόξης ἅμα καὶ τὴν ἀληθῆ· καὶ οὕτως εἴπερ ἡ φαντασία ἐστὶν αὐτὴ ἡ δόξα, ἕψεται τὴν αὐτὴν φαντασίαν εἶναι καὶ ἀληθῆ καὶ ψευδῆ. Ἀλλὰ δεῖ, εἴπερ ψευδὴς γέγονεν καὶ οὐκ ἔστιν ἀληθής, τὸ πρᾶγμα μεταπεσόν, τουτέστι μεταβληθὲν ἀπὸ τῆς προτέρας ἕξεως, λαθεῖν τὸν δοξάζοντα, διότι, εἰ μὴ ἔλαθεν αὐτὸν ἅμα τῇ τοῦ πράγματος μεταβολῇ, μετέβαλεν ἂν καὶ τὴν δόξαν καὶ οὐκ ἂν ἦν ἡ δόξα αὐτοῦ ψευδής. Τοῦτο δὲ συνῆψεν ἢ ἐπήγαγεν εἰς ἐξήγησιν οὗ πρότερον εἴρηκε περὶ τοῦ σεσῶσθαι τὸ πρᾶγμα. Συμπεραίνει τοίνυν ἐπὶ τούτοις, ὅτι ἡ φαντασία οὔτε ἔστι τι τῶν προειρημένων τεσσάρων, οὔτε σύνθετον ἐξ αὐτῶν.

## Leçon VI.

Ἀλλ' ἐπειδή. Δείξας ὁ Φιλόσοφος, ὅτι ἡ φαντασία οὐκ ἔστι τι τῶν τεσσάρων ἐκείνων, ἅπερ ὑπὸ τῶν ἀρχαίων πρὸς τὴν γνῶσιν ἀνήκειν ἐλέγοντο καὶ ἐπιστεύοντο, ἐνταῦθα ζητεῖ τί ἂν εἴη ἡ φαντασία, καὶ διαιρεῖται τοῦτο εἰς δύο μέρη, ὧν ἐν μὲν τῷ πρώτῳ δείκνυσι τί ἐστιν ἡ φαντασία· ἐν τῷ δευτέρῳ ἀποδίδωσι τὸν λόγον τῶν εἰς τὴν φαντασίαν ἀνηκόντων, ἐν τῷ· Τοῦτο δὲ συμβαίνει διὰ τάδε. Πρὸς δὲ τὸ εὑρεῖν τί ἐστιν ἡ φαντασία τούτῳ τῷ τρόπῳ προχωρεῖ· πρῶτον γὰρ τίθησιν ὅτι, εἰ ἔστι τι κινούμενον, ἐνδέχεται καὶ ἀπ' αὐτοῦ ἄλλο τι κινεῖσθαι· δέδεικται γὰρ ἐν τῷ τρίτῳ τῶν φυσικῶν, ὅτι διπλοῦν ἐστι τὸ κινοῦν, δη-

---

3 *ὅπερ* om B 19-21 *ἡ φαντασία — οὐκ ἔστιν* om B 30 *τι* om A

Ε.Γ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

λονότι κινοῦν ἀκίνητον, καὶ κινοῦν κινούμενον, ὅπερ δηλονότι κινεῖ ἐν τῷ κινεῖσθαι. Εἶτα τίθησιν ὅτι ἡ φαντασία ἐστὶ κίνησίς τις. Ὥσπερ γάρ τις τῶν ἄλλων αἰσθανόμενος κινεῖται ὑπ' αὐτῶν τούτων, δήπου τῶν αἰσθητῶν, οὕτω καὶ φανταζόμενος κινεῖται ὑπό τινων φαινομένων, ἃ λέγονται φαντάσματα. Ἐπέκεινα δὲ τίθησι καὶ τὴν συγγένειαν, ἣν ἔχει ἡ φαντασία πρὸς τὴν αἴσθησιν, διότι ἡ φαντασία οὐ δύναται γίνεσθαι ἄνευ αἰσθήσεως, ἀλλ' ἔστιν ἐν τοῖς ἔχουσιν αἴσθησιν μόνον, δηλονότι ἐν τοῖς ζῴοις, καὶ ἔστιν ἐκείνων μόνον, ὧν ἐστιν ἡ αἴσθησις, δηλονότι τῶν ὑποβεβλημένων αἰσθήσει· τὰ γὰρ νοητὰ μόνον ὄντα οὐχ ὑποπίπτουσι φαντασίᾳ. Εἶτα προτίθησιν, ὅτι ὑπὸ τῆς ἐνεργείᾳ αἰσθήσεως ἐνδέχεταί τινα κίνησιν γίνεσθαι, ὃ δὴ φανερὸν γίνεται ἐκ τοῦ πρότερον ὑποτεθειμένου, ὅπερ ἦν τὸ ὑπὸ τοῦ κινουμένου ἐνδέχεσθαί τι κινεῖσθαι ἕτερον. Ἡ δὲ αἴσθησις ἡ κατ' ἐνέργειαν γίνεται ἐκ τοῦ τὴν αἴσθησιν κινεῖσθαι ὑπὸ τῶν αἰσθητῶν· Ὅθεν καταλείπεται καὶ ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως γίνεσθαί τινα κίνησιν. Ἐπειδὴ τοίνυν φανερόν ἐστιν, ὅτι κίνησις τίκτεται ὑπὸ τῆς ἐνεργείᾳ αἰσθήσεως, ἀνάγκη ταύτην ὁμοίαν εἶναι τῇ αἰσθήσει διὰ τὸ πᾶν τὸ ποιοῦν ποιεῖν ὅμοιον ἑαυτῷ. Ὅθεν καὶ τὸ κινοῦν, καθόσον κινεῖται, ποιεῖ κίνησιν ὁμοίαν τῇ κινήσει, ᾗ καὶ αὐτὸ κινεῖται. Ἐκ πάντων δὴ τούτων συμπεραίνει ὅτι ἡ φαντασία ἐστὶ κίνησίς τις γινομένη ὑπ' αἰσθήσεως τῆς κατ' ἐνέργειαν, ἥτις δὴ κίνησις οὐκ ἔστιν ἄνευ αἰσθήσεως, οὔτε δύναται ἐνυπάρχειν τοῖς μὴ αἰσθανομένοις. Ἐπεὶ γάρ, εἴ τις κίνησις γίνεται ὑπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως, ἔστιν ὁμοία τῇ κινήσει τῆς αἰσθήσεως καὶ οὐδὲν ἄλλο εἰ μὴ μόνη ἡ φαντασία εὑρίσκεται τοιοῦτόν τι τυγχάνουσα, καταλείπεται τὴν φαντασίαν εἶναι τὴν τοιαύτην κίνησιν· καὶ ἐκ τοῦ τὴν φαντασίαν εἶναι κίνησιν ἐξ αἰσθήσεως τικτομένην καὶ ὁμοίαν εἶναι αὐτὴν τῇ αἰσθήσει, ἀκολουθεῖ τὸ τὸν ἔχοντα τὴν φαντασίαν πολλὰ ποιεῖν καὶ πάσχειν κατ' αὐτήν· καὶ ἁρμόττει αὐτὴν εἶναι καὶ ἀληθῆ καὶ ψευδῆ, ὡς αὐτίκα δειχθήσεται.

Ἐφεξῆς λέγων· Τοῦτο δὲ συμβαίνει, ἀποδίδωσι τὸν λόγον τῶν ἁρμοζόντων τῇ φαντασίᾳ διὰ τὰ προειρημένα, καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον, ἀποδίδωσι τὴν αἰτίαν διατί ἡ φαντασία ποτὲ μέν ἐστιν ἀληθής, ποτὲ δὲ ψευδής· δεύτερον, ἀποδίδωσι τὴν αἰτίαν αὐτοῦ τοῦ ὀνόματος, ἐν τῷ· Ἐπεὶ δ' ἡ ὄψις· τρίτον, ἀποδίδωσι τὴν αἰτίαν τοῦ πρότερον αὐτῷ εἰρημένου, ὅτι πολλὰ τῶν ζῴων ἐνεργεῖ κατὰ φαντασίαν, ἐν τῷ· Καὶ διὰ τὸ ἐμμένειν. Φησὶ τοίνυν, πρῶτον, ὅτι τοῦτο, τὸ τὴν φαντασίαν δηλονότι ποτὲ μὲν εἶναι ἀληθῆ, ποτὲ δὲ ψευδῆ, συμβαίνει διὰ τὰ ῥηθησόμενα, διότι ἡ αἴσθησις, ἐξ ἧς ἐνεργείᾳ γίνεται ἡ φαντασία, διαφόρως ἔχει πρὸς τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος, καθὸ καὶ πρὸς διάφορα παρα-

25 *γινομένην* B 27 *ἁρμόττει* corrigé de *συμβαίνει* A

βάλλεται. Πρῶτον μὲν γὰρ πρὸς τὰ ἴδια τῶν αἰσθητῶν ἀεὶ ἀληθῶς ἔχει, ἢ ὀλίγον ἔχει ψεύδους. Ὥσπερ γὰρ αἱ φυσικαὶ δυνάμεις οὐκ ἐλλείπουσιν | ἀπὸ τῶν ἰδίων ἐνεργειῶν εἰ μὴ ἐπ' ἐλάχιστον καὶ ἐν ἐλαχίστῳ μέρει διά f. 330v τινα φθορὰν ἀρχῆς, οὕτω καὶ αἱ αἰσθήσεις οὐχ ὑστεροῦσιν οὐδὲ ἀποπίπτουσιν τῆς ἀληθινῆς κρίσεως τῶν ἰδίων αἰσθητῶν εἰ μὴ διά τινα φθορὰν τοῦ ὀργάνου, ὡς δῆλον ἐν τοῖς πυρετοῖς, ἐν οἷς διὰ τὸ τῆς γλώττης δυσδιάθετον πικρὰ φαίνονται τὰ γλυκέα. Δεύτερον δὲ ἡ αἴσθησις ἐστὶ περὶ τὰ κατὰ συμβεβηκὸς αἰσθητά, καὶ τούτοις ἤδη ἀπατᾶται ἡ αἴσθησις· τῷ γὰρ λευκὸν εἶναι τὸ βλεπόμενον οὐ ψεύδεται ἡ αἴσθησις, ἀλλ' εἰ τὸ λευκὸν τοῦτο ἐστὶν ἢ ἕτερον, οἷον πότερον χιὼν ἢ ἄλευρον, ἤ τι τοιοῦτον, τούτῳ ἤδη ἐνδέχεται αὐτὴν ψεύδεσθαι καὶ μάλιστα πόρρωθεν. Τρίτον δὲ ἡ αἴσθησις ἐστὶ τῶν κοινῶν αἰσθητῶν, ἅπερ ἕπονται τοῖς ὑποκειμένοις, ἐν οἷς εἰσὶν ἐνεργείᾳ τὰ ἴδια αἰσθητά, ὥσπερ τὸ μέγεθος καὶ ἡ κίνησις, ἅτινα εἰσὶν αἰσθητὰ κοινὰ συμβαίνοντα τοῖς αἰσθητοῖς σώμασι· καὶ περὶ τὰ τοιαῦτα μάλιστα ἐστὶν ἡ ἀπάτη, διότι ἡ κρίσις ἐπὶ τούτων ποικίλλεται κατὰ τὴν ποικιλίαν τῆς διαστάσεως· τὸ γὰρ πορρώτερον ἧττον ὁρᾶται. Ἡ δὲ τῆς φαντασίας κίνησις, ἥτις ἐστὶν ἐκ τῆς ἐνεργείας τῆς αἰσθήσεως, διαφέρει τῶν τριῶν τούτων αἰσθητῶν, τουτέστι τῶν ἐνεργειῶν τῆς αἰσθήσεως, ὡς τὸ ἀποτέλεσμα διαφέρει τῆς αἰτίας· καὶ διὰ τοῦτο ἔτι, διότι τὸ ἀποτέλεσμα ἐστὶν ἀσθενέστερον τῆς αἰτίας, καὶ ὅτι ὅσῳ τι μᾶλλον μακρύνεται τοῦ πρώτου ποιοῦντος, τοσούτῳ ἔλαττον ἐκ τῆς ἀρετῆς ἢ τῆς δυνάμεως ἐκείνου λαμβάνει καὶ τῆς πρὸς αὐτὸ ὁμοιότητος. Διὰ τοῦτο καὶ ἐν τῇ φαντασίᾳ ῥᾷον ἢ ἐν τῇ αἰσθήσει δύναται τὸ ψεῦδος ἐμπίπτειν, ὅπερ συνίσταται ἐν τῇ ἀνομοιότητι τῆς αἰσθήσεως πρὸς τὸ αἰσθητόν. Τότε γὰρ ἔστι τὸ ψεῦδος ἐν τῇ αἰσθήσει, ὁπόταν ἄλλως προσλαμβάνηται τὸ αἰσθητὸν εἶδος ἐν τῇ αἰσθήσει παρὸ ἐστὶν ἐν τῷ αἰσθητῷ· λέγω δὲ ἄλλως κατὰ τὸ εἶδος, οὐ τὴν ὕλην, οἷον εἰ ὁ χυμὸς ὁ γλυκὺς λαμβάνοιτο ἐν τῇ γλώττῃ κατὰ τὴν πικρίαν, κατὰ δὲ τὴν ὕλην ἀεὶ ἄλλως λαμβάνεται ἐν τῇ αἰσθήσει παρὸ ἔχει ἐν ἑαυτῷ τὸ αἰσθητόν. Ἡ πρώτη τοίνυν κίνησις τῆς φαντασίας, ἥτις γίνεται ἐκ τῆς αἰσθήσεως τῶν ἰδίων αἰσθητῶν, ἀεὶ ἐστὶν ἀληθής, ὡς ἐν πλείοσιν· καὶ τοῦτο φημὶ ὅσον πρὸς τὴν παρουσίαν τοῦ αἰσθητοῦ, ὁπόταν δηλονότι ἡ κίνησις τῆς φαντασίας ὑπάρχῃ ὁμοῦ μετὰ τῆς κινήσεως τῆς αἰσθήσεως. Ἀλλ' ὅταν ἡ κίνησις τῆς φαντασίας ἐν ἀπουσίᾳ τῆς αἰσθήσεως ᾖ, τότε καὶ περὶ τὰ ἴδια αἰσθητὰ ἐνδέχεται ἀπατᾶσθαι· φανταζόμεθα γὰρ ἐνίοτε τὰ ἀπόντα ὡς λευκά, κἂν ὦσι μέλανα. Ἀλλ' αἱ ἄλλαι κινήσεις τῆς φαντασίας, ἥτις γίνεται ἐκ τῆς αἰσθήσεως τῶν κατὰ συμβεβηκὸς αἰσθητῶν καὶ ἔτι ἐκ τῆς αἰσθήσεως τῶν κοινῶν αἰσθητῶν, δύνανται εἶναι ψευδεῖς, ἄν τε παρῇ τὸ αἰσθητόν, ἄν τε καὶ μή. Ἀλλὰ μάλιστα εἰσὶ ψευδεῖς ἐν τῇ ἀπουσίᾳ τοῦ αἰσθητοῦ, ὅτε ἐστὶ πόρρω. Ἐκ τούτου δὲ τοῦ λόγου τοῦ ἀποδεδομένου συμπεραίνει περαιτέρω τὸ ἀρχο-

ειδὲς προκείμενον λέγων ὅτι, εἰ τὰ εἰρημένα μὴ ἁρμόττουσιν εἰ μὴ τῇ φαντασίᾳ καὶ ἡ φαντασία ἔχει τὸ εἰρημένον, καταλείπεται τὴν φαντασίαν εἶναι κίνησιν ὑπ' αἰσθήσεως τῆς κατ' ἐνέργειαν γινομένης. Πότερον δ' αὕτη ἡ κίνησις ἄλλην δύναμιν ζητεῖ παρὰ τὴν αἰσθητικήν, ἀκμὴν οὐ διορίζεται, ἀλλὰ δοκεῖ ὅτι, ἐπεὶ κατὰ τὴν διαφορὰν τῶν ἐνεργειῶν διακρίνονται αἱ δυνάμεις, καὶ ἡ διαφορότης τῆς κινήσεως ζητεῖ διάφορα κινητά, διότι τὸ κινούμενον οὐ κινεῖ ἑαυτὸ ἀλλ' ἕτερον, ἀναγκαῖον δοκεῖ εἶναι τινὰ δύναμιν φανταστικὴν ἄλλην παρὰ τὴν αἴσθησιν.

Μετὰ ταῦτα λέγων· Ἐπεὶ δ' ἡ ὄψις, ἀποδίδωσι τὴν αἰτίαν τούτου τοῦ λόγου. Φησὶ τοίνυν ὅτι ἡ ὄψις ἐστὶν ἐξαίρετος ἐν ταῖς ἄλλαις αἰσθήσεσι διὰ τὸ πνευματικωτέρα εἶναι καὶ πλειόνων γνωστική, ὡς προείρηται, διὰ τοῦτο ἡ φαντασία ἡ γινομένη ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως, λαμβάνει τὸ ὄνομα ἀπὸ τοῦ φάους, δηλονότι τοῦ φωτός, οὗ χωρὶς οὐχ ἁρμόττει βλέπειν οὐδ' ἐνδέχεται, ὡς προείρηται.

Μετὰ ταῦτα λέγων· Καὶ διὰ τὸ ἐμμένειν, δείκνυσι τὴν αἰτίαν διὰ τί τὰ ζῷα δρῶσι καὶ πάσχουσι κατὰ φαντασίαν· καὶ φησὶν ὅτι αἱ φαντασίαι ἐμμένουσιν ἤγουν διαρκοῦσιν καὶ ἐν τῇ ἀποχωρήσει τῶν αἰσθητῶν, καὶ εἰσὶν ὅμοιαι ταῖς κατ' ἐνέργειαν αἰσθήσεσιν. Ὅθεν, ὥσπερ ἡ κατ' ἐνέργειαν αἴσθησις κινεῖ τὴν ὄρεξιν ἐν τῇ παρουσίᾳ τοῦ αἰσθητοῦ, οὕτω καὶ ἡ φαντασία ἐν τῇ ἀπουσίᾳ αὐτοῦ. Καὶ διὰ τοῦτο δείκνυσιν, ὅτι πολλὰ ζῷα ἐνεργοῦσι κατὰ τὰς φαντασίας. Ἀλλὰ τοῦτο συμβαίνει ἐν τῇ ἐλλείψει τοῦ νοῦ, διότι παρόντος τοῦ νοῦ, ὅς ἐστιν ὑψηλότερος, ἡ κρίσις αὐτοῦ κατισχύει πρὸς τὸ ἐνεργεῖν· ὅθεν, ὁπόταν ὁ νοῦς μὴ ἐπικρατῇ, f. 331 δρῶσι τὰ ζῷα κατὰ τὰς φαντασίας, τὰ μὲν διὰ τὸ παντάπασι μὴ | ἔχειν νοῦν, ὡς τὰ θηρία, τὰ δὲ διὰ τὸ ἔχειν τὸν νοῦν ἐπικεκαλυμμένον, ὥσπερ οἱ ἄνθρωποι· ὅπερ συμβαίνει τριχῶς, ποτὲ μὲν ἔκ τινος πάθους, ὀργῆς δηλονότι, ἢ ἐπιθυμίας, ἢ φόβου, ἢ τοιούτου τινός, ὁπόταν τὸ πάθος οὕτως ἰσχυρὸν ᾖ, ὥστε ἐπιπροσθεῖν τῷ νῷ· ποτὲ δὲ συμβαίνει ἔκ τινος ἀσθενείας, ὡς ἐπὶ τῶν φρενίτιδι καὶ ἄλλαις ἐκστατικαῖς νόσοις κατεχομένων· ποτὲ δὲ διὰ τὸν ὕπνον, ὥσπερ ἐν τοῖς κοιμωμένοις. Ἐκ γὰρ τούτων τῶν αἰτιῶν συμβαίνει τὸν νοῦν μὴ κατισχύειν τῆς φαντασίας· ὅθεν ὁ ἄνθρωπος ἕπεται τῇ φανταστικῇ ὄψει ὡσανεὶ ἀληθεῖ. Τελευταῖον, συμπεραίνει, ὅτι εἴρηται περὶ τῆς φαντασίας τί ἐστι καὶ τίς ἐστιν ἡ ταύτης αἰτία.

## Leçon VII.

Περὶ δὲ τοῦ μορίου. Διορισάμενος ὁ Φιλόσοφος περὶ τῆς αἰσθητικῆς μοίρας τῆς ψυχῆς καὶ δείξας ἔτι, ὅτι τὸ αἰσθάνεσθαι καὶ τὸ νοεῖν οὐκ ἔστι ταὐτόν, ἐνταῦθα ἄρχεται διορίζεσθαι περὶ τοῦ νοεροῦ μέρους

---

7 *ἀλλ' ἕτερον* om B  10 *ὅτι ἐπειδὴ ἡ* B  11 *εἴρηται* B

Ε.Υ.Δ τηςΚ.Ε.Π. ΙΩΑΝΝΙΝΑ 2006

αὐτῆς τῆς ψυχῆς, καὶ διαιρεῖται εἰς δύο· ἐν τῷ πρώτῳ διορίζεται περὶ τοῦ νοεροῦ μορίου τῆς ψυχῆς· ἐν τῷ, δευτέρῳ, ἐκ τῶν περὶ αἰσθήσεως καὶ νοῦ διωρισμένων δείκνυσι τί ἂν δέοι φρονεῖν καὶ νοεῖν περὶ τῆς ψυχῆς, ἐν τῷ· Νῦν δὲ περὶ τῆς.

Τὸ πρῶτον εἰς δύο· ἐν τῷ πρώτῳ διορίζεται περὶ τοῦ νοῦ· ἐν τῷ δευτέρῳ παραβάλλει αὐτὸν τῇ αἰσθήσει, ἐν τῷ· Δοκεῖ δὲ τὸ αἰσθητόν. Τὸ πρῶτον εἰς δύο· ἐν τῷ πρώτῳ διορίζεται περὶ τοῦ νοῦ· ἐν τῷ δευτέρῳ περὶ τῆς ἐνεργείας αὐτοῦ, ἐν τῷ· Τῶν μὲν οὖν ἀδιαιρέτων. Τὸ πρῶτον διαιρεῖται εἰς τρία· ἐν τῷ πρώτῳ διορίζεται περὶ τοῦ δυνάμει νοῦ· ἐν τῷ δευτέρῳ περὶ τοῦ ποιοῦντος νοῦ, ἐν τῷ· Ἐπειδὴ δὲ ὥσπερ· ἐν τῷ τρίτῳ περὶ τοῦ ἐνεργείᾳ νοῦ, ἐν τῷ· . . . . κατ' ἐνέργειαν. Περὶ τὸ πρῶτον τρία ποιεῖ· πρῶτον, διορίζεται περὶ τοῦ δυνάμει νοῦ· δεύτερον, περὶ τοῦ ἀντικειμένου αὐτοῦ, ἐν τῷ· Ἐπεὶ δὲ ἄλλο ἐστὶ τὸ μέγεθος· τρίτον, κινεῖ ἀπορίαν περὶ τὰ προειρημένα, ἐν τῷ· Ἀπορήσειε δ' ἄν τις. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, δείκνυσι τὴν φύσιν τοῦ δυνάμει νοῦ· δεύτερον, πῶς ἂν εἰς ἐνέργειαν προαχθείη, ἐν τῷ· Ἐπεὶ δέ. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, δείκνυσι περὶ τίνος ὁ σκοπὸς αὐτῷ· δεύτερον, δείκνυσι τὸ προκείμενον, ἐν τῷ· Εἰ δὴ ἔστι τὸ νοεῖν. Φησὶ τοίνυν, πρῶτον, ὅτι ἐπειδὴ διώρισται περὶ τοῦ αἰσθητικοῦ μέρους τῆς ψυχῆς καὶ δέδεικται ὅτι τὸ φρονεῖν καὶ νοεῖν οὐκ ἔστι ταὐτὸν ὅπερ τὸ αἰσθάνεσθαι, θεωρητέον νῦν ἐστι περὶ τοῦ μορίου τῆς ψυχῆς ᾧ γινώσκει ἡ ψυχή, τουτέστι νοεῖ καὶ φρονεῖ. Εἴρηται δὲ ἀνωτέρω, ὅτι διαφέρει τὸ φρονεῖν καὶ νοεῖν. Τὸ μὲν γὰρ φρονεῖν ἀνήκει πρὸς τὴν κρίσιν τοῦ νοῦ, τὸ δὲ νοεῖν πρὸς τὴν τούτου κατάληψιν.

Περὶ δὲ τοῦτο τὸ μέρος ἔστι τι παραλειπόμενον ὑπ' αὐτοῦ, περὶ οὗ τοῖς ἀρχαίοις ἀμφισβήτησις ἦν, πότερον δηλονότι τοῦτο τὸ μόριον τῆς ψυχῆς χωριστόν ἐστιν ἀπὸ τῶν ἄλλων μερῶν τῆς ψυχῆς τῷ ὑποκειμένῳ, ἢ μὴ ἔστι χωριστὸν τῷ ὑποκειμένῳ, ἀλλὰ μόνον τῷ λόγῳ. Νοεῖ δὲ εἶναι χωριστὸν τῷ ὑποκειμένῳ διὰ τοῦ λέγειν εἶναι χωριστὸν κατὰ τὸ μέγεθος, καὶ τοῦτο διὰ τὸν Πλάτωνα, ὃς τὰ τῆς ψυχῆς μόρια τιθεὶς τῷ ὑποκειμένῳ κεχωρισμένα εἶναι ἀλλήλων, ἀποδίδωσιν αὐτοῖς ὄργανα ἐν διαφόροις τοῦ σώματος μέρεσιν, οἷον ὥσπερ εἶπεν ὁ Πλάτων, ὅτι τὸ μέσον μέρος τοῦ ἐγκεφάλου ὑποκείμενον ἐστὶ τοῦ λόγου καὶ θρόνος αὐτοῦ, ὅπερ ὠνόμαζε καὶ ταμεῖον λογιστικόν, ὡς ἂν τὸ ὕψος τῆς θέσεως τοῦ ὀργάνου τὸ ὑπὲρ τὰ ἄλλα ὕψος τοῦ λόγου διορίζηταί τε καὶ φανεροῖ. Τοῦτο τοίνυν ἐστὶν ὃ παραλείπει. Ἀλλὰ δύο εἰσίν, ἃ σκοπεῖ ζητεῖν, ὧν πρῶτον ἐστίν, εἰ χωριστόν ἐστιν κατὰ τὸν λόγον τοῦτο τὸ μόριον τῆς ψυχῆς ἀπὸ τῶν ἄλλων,

11 blanc après *ἐν τῷ* AB *κατ' ἐνέργειαν* om et laissé en blanc A 16 *ἐν τῷ δευτέρῳ δείκνυσι πῶς* B 17 *ἐστιν* après *τινός* add B

Ε.Υ.Ζ.Α. της Κ.τ.Λ. ΙΩΑΝΝΙΝΑ 2006

τίνα διαφορὰν ἔχει πρὸς τὰ ἄλλα. Καὶ ἐπεὶ ἡ τῆς δυνάμεως ἰδιότης ἐκ τῆς ποιότητος τῆς ἐνεργείας γινώσκεται, δεύτερον, ὃ ζητῆσαι σκοπεῖ, τοῦτ' ἔστι πῶς ποτ' ἂν εἴη καὶ γίνοιτο αὐτὸ τὸ νοεῖν, τουτέστι πῶς ἂν ἡ ἐνέργεια συμπληροῖτο τοῦ νοῦ.

Ἐφεξῆς λέγων· Εἰ δὴ ἔστι τὸ νοεῖν, δείκνυσι τὸ προκείμενον, καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον, τίθησιν ὁμοιότητα τοῦ νοῦ πρὸς τὴν αἴσθησιν· δεύτερον, ἐκ ταύτης τῆς ὁμοιότητος δείκνυσι τὴν φύσιν τοῦ δυνάμει νοῦ, ἐν τῷ· Ἀνάγκη τοίνυν· τρίτον, δείκνυσιν ἐκ τῶν ἀποδεδειγμένων ἤδη περὶ τοῦ νοῦ τὴν διαφορὰν τοῦ νοῦ καὶ τῆς αἰσθήσεως, ἐν τῷ· Ὅτι δὲ οὐχ ὁμοία. Πρῶτον οὖν οὗτινος ἐκ τῆς ὑποθέσεως προχωρεῖ πρὸς τὸ δεῖξαι τὸ προκείμενον, ἔστιν ὅτι τὸ νοεῖν ὅμοιόν ἐστι τῷ αἰσθάνεσθαι, ἡ δὴ ὁμοιότης ἐντεῦθεν ἐστὶ φανερά, ὅτι καθάπερ τὸ αἰσθάνεσθαι τί γινώσκειν ἐστί, καὶ αἰσθανόμεθα ποτὲ μὲν δυνάμει, ποτὲ δὲ ἐνεργείᾳ, οὕτω καὶ τὸ νοεῖν γινώσκειν τί ἐστι, καὶ ποτὲ μὲν νοοῦμεν ἐν δυνάμει, ποτὲ δὲ ἐνεργείᾳ. Ἐντεῦθεν δὲ ἕπεται ὅτι, ἐπειδὴ τὸ αἰσθάνεσθαι πάσχειν τί ἐστιν ὑπὸ τοῦ αἰσθητοῦ, ἤ τι ὅμοιον τῷ πάθει, καὶ τὸ νοεῖν ὡσαύτως ἢ πάσχειν τί ἐστιν ὑπὸ τοῦ νοητοῦ, ἢ τοιοῦτόν τι ἕτερον, ὅμοιον f. 331v δηλονότι πάθει. Τούτων δὲ τῶν δύο τὸ δεύτερον ἀληθέστερον ἐστί· | τὸ γὰρ αἰσθάνεσθαι, ὡς προείρηται ἐν τῷ δευτέρῳ, οὐ κυρίως πάσχειν ἐστί· πάσχει γάρ τι κυρίως ὑπὸ τοῦ ἐναντίου. Ἀλλ' ἔχει τι ὅμοιον πάθει, ἐφ' ὅσον ἡ αἴσθησις ἐστὶν ἐν δυνάμει πρὸς τὸ αἰσθητόν, καὶ ἔστι δεκτική. Εἰ δὴ καὶ τὸ νοεῖν ἐστὶν ὅμοιον τῷ αἰσθάνεσθαι, καὶ τὸ νοερὸν μόριον δεῖ εἶναι ἀπαθές, κυρίως εἰλημμένου τοῦ πάθους. Δεῖ μέντοι γε ἔχειν αὐτὸ ὅμοιόν τι τῇ παθητότητι, διότι χρὴ τὸ τοιοῦτον μόριον δεκτικὸν εἶναι τοῦ νοητοῦ εἴδους καὶ εἶναι δυνάμει πρὸς τὸ τοιοῦτον εἶδος, ἀλλὰ μὴ εἶναι τόδε ἐνεργείᾳ. Καὶ οὕτω δεῖ, καθὼς ἔχει τὸ αἰσθητικὸν πρὸς τὰ αἰσθητά, ὁμοίως ἔχειν καὶ τὸν νοῦν πρὸς τὰ νοητὰ διὰ τὸ ἑκάτερον ἐν δυνάμει εἶναι πρὸς τὸ ἴδιον ἀντικείμενον, καὶ δεκτικὸν εἶναι αὐτοῦ.

Μετὰ ταῦτα λέγων· Ἀνάγκη ἄρα, ἐκ τῶν προειρημένων δείκνυσι τὴν φύσιν τοῦ δυνάμει νοῦ, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι ὁ δυνάμει νοῦς οὐκ ἔστι τι σωματικὸν ἢ σύμμικτον ἐκ τῶν σωματικῶν πραγμάτων· δεύτερον, δείκνυσιν ὅτι οὐδὲ ἔχει ὄργανον σωματικόν, ἐν τῷ· Ὅθεν οὐδέ. Θεωρητέον τοίνυν περὶ τὸ πρῶτον, ὅτι οἱ ἀρχαῖοι φιλόσοφοι περὶ τοῦ νοῦ διχῶς ἐδόξασαν. Τινὲς μὲν γὰρ ἔθεντο τὸν νοῦν εἶναι σύνθετον ἐκ τῶν ἀρχῶν πάντων πρὸς τὸ πάντα γινώσκειν, καὶ ταύτην Ἐμπεδοκλέους προείρηκεν εἶναι τὴν δόξαν. Ἀναξαγόρας δὲ εἶπεν ἁπλοῦν τὸν νοῦν εἶναι καὶ ἄμικτον καὶ μηδενὶ τῶν σωματικῶν πραγμάτων ἔχειν τι κοινόν. Ἐκ τοῦ εἰρημένου τοίνυν, ὅτι ὁ νοῦς οὐκ ἔστι τὰ ἐνεργείᾳ

---

15 *ἐν* om B 22 *μόριον*: *μέρος* B 25-26 *ἀλλὰ — τόδε*: *εἰ μὴ εἴη τοῦτο* B

νοητά, ἀλλὰ δυνάμει μόνον, συμπεραίνει ὅτι ἀνάγκη τὸν νοῦν, διὰ τὸ νοεῖν πάντα ἐν δυνάμει, μὴ εἶναι μικτὸν ἐκ τῶν σωματικῶν πραγμάτων, ὡς Ἐμπεδοκλῆς ἔφασκεν, ἀλλ' εἶναι μᾶλλον ἀμιγῆ, ὡς Ἀναξαγόρας ἐτίθει. Καὶ ὁ Ἀναξαγόρας τῳόντι τοῦτ' ἔλεγεν τούτῳ τῷ λόγῳ κεκινημένος, διότι τὸν νοῦν ἔθετο πρώτην ἀρχὴν εἶναι τοῦ παντός, ὑφ' οὗ πάντα κινοῦνται κατὰ τὴν ἐπικράτειαν αὐτοῦ καὶ τὴν δεσποτείαν. Εἰ δὲ μικτὸς ἦν ἐκ τῶν σωματικῶν φύσεων, ἢ εἶχε τινὰ τούτων ὡρισμένως, οὐκ ἂν ἠδύνατο πάντα κινεῖν τῷ ἰδίῳ κράτει· ὡρίζετο γὰρ ἂν πρὸς ἕν· καὶ τοῦτ' ἔστιν ὅ φησι τὸν Ἀναξαγόραν θεῖναι τὸν νοῦν ἀμιγῆ, ἵνα κρατῇ, τουτέστι πάντα τῷ ἰδίῳ κράτει κινῇ. Ἀλλὰ νῦν οὐ διαλεγόμεθα περὶ τοῦ πάντα κινοῦντος νοῦ, ἀλλὰ περὶ τοῦ πάντα νοοῦντος. Ὅθεν τοῦτο τὸ μέσον οὐκ ἔστιν ἡμῖν καίριον πρὸς τὸ δεῖξαι τὸν νοῦν ἀμιγῆ εἶναι, ἀλλὰ δεῖ μέσον ἄλλο λαβεῖν πρὸς τὸ δεῖξαι τοῦτο, ἐκ τοῦ τὸν νοῦν δηλονότι πάντα γινώσκειν, καὶ τοῦτ' ἔστιν ὃ προστίθησιν· Τοῦτο δ' ἐστίν, ἵνα γνωρίζῃ, ὡσανεὶ λέγων· ὥσπερ Ἀναξαγόρας ἔθετο τὸν νοῦν ἄμικτον, ἵνα κρατῇ, οὕτω δεῖ ἡμᾶς θεῖναι τὸν νοῦν ἀμιγῆ, ἵνα γινώσκῃ. Καὶ τοῦτο μὲν τοιούτῳ φαίνεται λόγῳ· πᾶν γὰρ ὅπερ ἐστὶν ἐν δυνάμει πρός τι καὶ δεκτικὸν αὐτοῦ, στέρεται ἐκείνου πρὸς ὅ ἐστιν ἐν δυνάμει καὶ οὗ ἐστι δεκτικόν, ὥσπερ ἡ κόρη, ἥτις ἐν δυνάμει ἐστὶν πρὸς τὰ χρώματα καὶ δεκτικὴ αὐτῶν, ὑπάρχει χωρὶς παντὸς χρώματος. Ἀλλ' ὁ νοῦς ἡμῶν οὕτω νοεῖ τὰ νοητά, ὅτι ἔστιν ἐν δυνάμει πρὸς πάντα καὶ δεκτικὸς αὐτῶν, ὡς καὶ ἡ αἴσθησις τῶν αἰσθητῶν. Ἐστέρηται ἄρα πάντων ἐκείνων, ἃ πέφυκε νοεῖν. Ἐπεὶ τοίνυν ὁ ἡμέτερος νοῦς πέφυκε νοεῖν πάντα τὰ αἰσθητὰ καὶ σωματικὰ πράγματα, δεῖ τοῦτο ἔρημον εἶναι σωματικῆς πάσης φύσεως, ὥσπερ ἡ αἴσθησις τῆς ὄψεως παντὸς ἐστέρηται χρώματος διὰ τὸ γνωστικὴ χρωμάτων ὑπάρχειν. Εἰ γὰρ εἶχέ τι χρῶμα, ἐκώλυεν ἂν ἐκεῖνο τὸ χρῶμα φαίνεσθαι τὰ λοιπὰ χρώματα. ὥσπερ ἡ τοῦ πυρέττοντος γλῶττα, διὰ τὸ ἔχειν πικρόν τινα χυμόν, οὐ δύναται καταλαμβάνειν τὸν γλυκὺν χυμόν. Οὕτω δὴ καὶ ὁ νοῦς, εἰ εἶχε τινὰ φύσιν διωρισμένην, ἐκείνη ἡ φύσις συμπεφυκυῖα αὐτῷ εἶργεν ἂν αὐτὸν τῆς τῶν λοιπῶν φύσεων γνώσεως. Καὶ τοῦτ' ἔστιν ὅ φησι· παρεμφαινόμενον γὰρ κωλύσει τὸ ἀλλότριον καὶ ἀντιφράξει, τουτέστιν εἴρξει τὸν νοῦν καὶ τρόπον τινὰ καλύψει καὶ κλείσει ἀπὸ τῆς τῶν ἄλλων θεωρίας· καὶ καλεῖ παρεμφαινόμενον ἐνυπάρχον τι καὶ συμπεφυκὸς εἶδος τῷ νῷ, οὗ φαινομένου, ἀεὶ εἴργοιτ' ἂν ὁ νοῦς τοῦ τὰ ἄλλα νοεῖν, ὥσπερ εἰ λέγοιμεν τὸν πικρὸν χυμὸν εἶναι παρεμφαινόμενον τῇ τοῦ πυρέττοντος γλώττῃ. Συμπεραίνει δὲ ἐκ τούτου, ὅτι οὐκ ἐνδέχεται φύσιν εἶναι αὐτοῦ

---

5 *τὰ* avant *πάντα* add B  9 *κατέχῃ* après *πάντα* add B  10 *καὶ* avant *κινῇ* add B  13 *ἐκ τοῦ*: *τὸ* B  24 *καὶ* après *ὥσπερ* add B  26 *τὰ λοιπὰ* om B  29 *ὡρισμένην* B  32 *ἐκκλείσει* B

οὐδεμίαν, τουτέστιν οὐδεμίαν διωρισμένην, ἀλλὰ ταύτην μόνον τὴν φύσιν f. 332 ἔχειν, τὸ δυνάμει εἶναι πρὸς πάντα. | Καὶ τοῦτο συμβαίνει τῷ νῷ διὰ τὸ μὴ εἶναι γνωστικὸν ἑνὸς μόνον γένους τῶν αἰσθητῶν, ὥσπερ ἡ ὄψις, ἢ ἡ ἀκοή, ἢ μόνον τῶν ποιοτήτων τῶν αἰσθητῶν συμβεβηκότων, εἴτε τῶν κοινῶν, εἴτε τῶν ἰδίων, ἀλλὰ καθόλου ὅλης τῆς αἰσθητῆς φύσεως· ὅθεν [ὡς] ἡ ὄψις ἔρημός ἐστι γένους τινὸς τῶν αἰσθητῶν, οὕτω δεῖ καὶ τὸν νοῦν ὅλης ἐστερῆσθαι τῆς αἰσθητῆς φύσεως. Ἐκ τούτου δὲ περαιτέρω συμπεραίνει, ὅτι ὁ καλούμενος νοῦς τῆς ψυχῆς οὐδέν ἐστιν ἐνεργείᾳ τῶν ὄντων πρὸ τοῦ νοεῖν, ὃ μάχεται καὶ ἐναντίον ἐστὶ τῇ τῶν παλαιῶν θέσει. Ἔφασκον γὰρ αὐτὸν πρὸς τὸ πάντα γινώσκειν σύνθετον εἶναι ἐκ πάντων. Εἰ δή, διὰ τοῦτο εἴη γνωστικὸς πάντων διὰ τὸ πάντα ἔχειν ἐν ἑαυτῷ, εἴη ἂν ἀεὶ νοῶν ἐνεργείᾳ καὶ οὐδέποτε ἐν δυνάμει, καθὼς προειρήκει περὶ αἰσθήσεως ὅτι, εἰ συνετέθειτο ἐκ τῶν αἰσθητῶν, οὐκ ἂν ἐδεῖτο τῶν ἔξωθεν αἰσθητῶν πρὸς τὸ αἰσθάνεσθαι. Καὶ ἵνα μή τις πιστεύσῃ τοῦτο ἀληθὲς εἶναι περὶ παντὸς νοῦ, τὸ εἶναι ἐν δυνάμει πρὸς τὰ ἴδια νοητὰ περὶ τοῦ νοεῖν, παρεντίθησι τό· Ὁ διανοεῖται καὶ δοξάζει ἡ ψυχή. Καὶ τοῦτο φησίν, ἵνα προφυλάξηται ἑαυτὸν ἀπὸ τοῦ θείου νοῦ, ὅστις οὐκ ἔστιν ἐν δυνάμει, ἀλλ' ἔστι τρόπῳ τινὶ ἐντελέχεια πάντων· περὶ οὗ δὴ νοῦ καὶ Ἀναξαγόρας εἶπεν, ὅτι ἔστιν ἀμιγής, ἵνα πάντων κρατῇ.

Ἐφεξῆς λέγων· Διὸ οὐδὲ μεμῖχθαι, δείκνυσιν ὅτι ὁ νοῦς οὐκ ἔχει σωματικὸν ὄργανον. Καὶ πρῶτον μὲν προτίθησι· δεύτερον, προσαρμόζει τούτῳ ῥητόν τινων ἀρχαίων, ἐν τῷ· Καὶ εὖ δὴ οἱ. Λέγει τοίνυν, πρῶτον, συμπεραίνων ἐκ τῶν προειρημένων ὅτι, εἰ μὴ δεῖ τὸν ἡμέτερον νοῦν, πρὸς τὸ πάντα γινώσκειν, ἔχειν τινὰ φύσιν διωρισμένην ἐκ τῶν φύσεων τῶν σωματικῶν πραγμάτων, ἃ γινώσκει, τῷ αὐτῷ τρόπῳ εὔλογόν ἐστι μηδὲ μίγνυσθαι αὐτὸν τῷ σώματι, τουτέστι μὴ ἔχειν τι σωματικὸν ὄργανον, ὥσπερ ἔχει τὸ μόριον τῆς ψυχῆς τὸ αἰσθητικόν, διότι εἰ ἔσται ὄργανον σωματικὸν τοῦ νοῦ, ὥσπερ τοῦ αἰσθητικοῦ μορίου, ἕψεται ἔχειν αὐτὸν καί τινα φύσιν διωρισμένην ἐκ τῶν φύσεων τῶν πραγμάτων τῶν αἰσθητῶν. Καὶ τοῦτ' ἔστιν ὅ φησιν, ὅτι γίνοιτο ἂν ποιός τις ἤγουν ποιότητά τινα αἰσθητὴν ἔχων, ὡς εἶναι δηλονότι αὐτὸν θερμόν, ἢ ψυχρόν· φανερὸν γάρ ἐστιν ὅτι ἡ δύναμις τῆς ψυχῆς, ἥτις ἐστὶν ἐνέργεια τινὸς ὀργάνου, συμμορφοῦται ἐκείνῳ τῷ ὀργάνῳ, ὡς ἡ ἐντελέχεια τῷ δεκτικῷ· οὐδὲ διαφέρει, ὅσον πρὸς τὴν ἐνέργειαν τῆς δυνάμεως, τὸ τὴν ἐνέργειαν μὴ εἶναι τῆς δυνάμεως μόνον, ἀλλὰ τοῦ συνθέτου ἔκ τε τῆς δυνάμεως καὶ τοῦ ὀργάνου τοῦ σωματικοῦ· ὁμοίως γὰρ ἂν ἐμποδίζοιτο ἡ ὄψις τῶν χρωμάτων, εἴτε ἡ δύναμις ἡ ὀπτικὴ ἔχει χρῶμα διωρισμένον, εἴτε ἡ κόρη. Καὶ διὰ τοῦτο φησίν, ὅτι τοῦ αὐτοῦ λόγου ἐστὶ τιθέναι τὸν νοῦν μὴ ἔχειν ὄργανον

---

7 *περαιτέρω* om B    14 *πιστεύσῃ*: *νομίσῃ* B    15 *τοῦ* avant *νοῦ* add B

ΙΩΑΝΝΙΝΑ 2006

σωματικόν, καὶ μὴ ἔχειν αὐτὸν φύσιν τινὰ σωματικὴν διωρισμένην. Καὶ διὰ τοῦτο ἐπάγει, ὅτι οὐδέν ἐστιν ὄργανον τοῦ νοεροῦ μορίου, ὥσπερ οὐδὲ τοῦ αἰσθητικοῦ.

Μετὰ ταῦτα λέγων· Καὶ εὖ δὴ οἱ, προσαρμόζει τῷ ῥηθέντι δόξαν τινῶν ἀρχαίων, καὶ φησὶν ὅτι, ἐπεὶ ἡ νοερὰ μοῖρα οὐκ ἔχει ὄργανον ὡς ἔχει τὸ αἰσθητικὸν μόριον, ἤδη δύναται ἀληθεύεσθαι ὁ λόγος ἐκείνων, οἵτινες εἶπον τὴν ψυχὴν εἶναι τόπον εἰδῶν, ὅπερ καθ' ὁμοιότητα εἴρηται διὰ τὸ εἶναι αὐτὴν εἰδῶν δεκτικήν· ὅπερ οὐκ ἂν ἀληθὲς ἦν, εἰ πᾶν μέρος τῆς ψυχῆς εἶχεν ὄργανον, διότι ἤδη τὸ εἶδος οὐκ ἂν προσελαμβάνετο ἐν τῇ ψυχῇ μόνῃ, ἀλλ' ἐν τῷ συνημμένῳ· οὐδὲ γὰρ ἡ ὄψις μόνη ἐστὶ δεκτικὴ τῶν εἰδῶν, ἀλλ' ὁ ὀφθαλμός. Καὶ διὰ τοῦτο οὐ δεῖ λέγειν οὔτε ὅλην τὴν ψυχὴν εἶναι τόπον εἰδῶν, οὔθ' ὅτι ἔχει τὰ εἴδη ἐνεργείᾳ ἀλλὰ δυνάμει μόνον.

Μετὰ ταῦτα λέγων· Ὅτι δὲ οὐχ ὁμοία ἡ ἀπάθεια, δείκνυσι διαφορὰν μεταξὺ τῆς αἰσθήσεως καὶ τοῦ νοῦ ὅσον πρὸς τὴν ἀπάθειαν. Εἴρηται γὰρ ἀνωτέρω ὅτι, ὥσπερ τὸ αἰσθάνεσθαι οὐκ ἔστι πάσχειν, κυρίως λαμβανομένου τοῦ πάθους, οὕτως οὐδὲ τὸ νοεῖν· καὶ ἐντεῦθεν συνεπέρανε τὸν νοῦν εἶναι ἀπαθῆ. Καὶ ἵνα μή τις τυχὸν ὑπολάβοι ἐν τῷ αὐτῷ τῆς ἀπαθείας βαθμῷ εἶναι τὸν νοῦν καὶ τὴν αἴσθησιν, ἐπάγει, ὅτι οὐκ ἔστιν ὁμοία ἡ ἀπάθεια τοῦ αἰσθητικοῦ καὶ τοῦ νοεροῦ. Ἡ γὰρ αἴσθησις, εἰ καὶ καθ' αὑτὴν οὐ πάσχει ὑπὸ τοῦ αἰσθητοῦ, κυρίως λαμβανομένου τοῦ πάθους, πάσχει μέντοι γε κατὰ συμβεβηκός, καθόσον ἡ τοῦ ὀργάνου ἀναλογία διαφθείρεται τῇ ὑπερβολῇ τοῦ αἰσθητοῦ. Ἀλλὰ τοῦτο ἐπὶ τοῦ νοῦ συμβαίνειν οὐ δύναται διὰ τὸ ἐστερῆσθαι αὐτὸν ὀργάνου. | Ὅθεν οὔτε f. 332ᵛ καθαυτόν, οὔτε κατὰ συμβεβηκὸς παθητός ἐστι. Καὶ τοῦτ' ἔστιν ὅ φησιν, ὅτι ἡ ἀνομοιότης τῆς ἀπαθείας τοῦ τε αἰσθητικοῦ καὶ τοῦ νοεροῦ φανερά ἐστιν ἐκ τῶν ὀργάνων καὶ τῶν αἰσθήσεων, διότι ἡ αἴσθησις ἀδύνατος πρὸς τὸ αἰσθάνεσθαι καὶ ἀδρανὴς γίνεται ἐκ τοῦ σφόδρα αἰσθητοῦ, ὥσπερ ἡ ἀκοὴ οὐ δύναται αἰσθάνεσθαι ψόφου ἐκ μεγάλων κινηθεῖσα ψόφων, οὔτε ἡ ὄψις δύναιτ' ἂν βλέπειν καὶ ἡ ὄσφρησις ὀσφραίνεσθαι, κινηθεῖσαι ἐκ μεγάλων καὶ σφοδρῶν ὀσμῶν καὶ χρωμάτων διαφθειρόντων τὸ ὄργανον. Ἀλλ' ὁ νοῦς, διὰ τὸ μὴ ἔχειν σωματικὸν ὄργανον ὃ δύναιτ' ἂν φθείρεσθαι διὰ τὴν ὑπερβολὴν τοῦ ἰδίου ἀντικειμένου, ὁπόταν νοῇ τι σφόδρα νοητόν, οὐχ ἧττον μετὰ ταῦτα νοεῖ τὰ ὑποδεέστερα, ἀλλὰ καὶ μᾶλλον. Καὶ τὸ αὐτὸ τοῦτο συνέβαινεν ἂν ἐπὶ τῆς αἰσθήσεως, εἰ μὴ εἶχεν ὄργανον σωματικόν. Χαυνοῦται μέντοι γε ὁ νοῦς ἐκ βλάβης τινὸς ὀργάνου σωματικοῦ, εἰ καὶ μὴ ἀπ' εὐθείας, ἀλλὰ πλαγίως, ἐφόσον ζητεῖται πρὸς τὴν τούτου

---

4 *καὶ* om B  16 *πάθος* avant *πάσχειν* add B  18 *ἐν* om B  20 *εἰ γὰρ ἡ* B  34 *καὶ* avant *μᾶλλον* om B



Ε.Γ.Δ.... Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006